καὶ συχνῆς ἀναρρώσεως δεομένῳ. τῶν δέ γε τύπων ὁ προμηθεὺς τὸ ἔμφυτον ταῖς διανοίαις ἡμῶν ἀναρριπίζων σέλας ἡτοίμασε τὴν ὄντως ἀληθινὴν ἀνθρώπῳ τροφὴν, δι' ἧς ὥσπερ φυτὰ αἰθέρια καὶ ζωπυρεῖσθαι πεφύκαμεν καὶ τεθηλέναι· τῆς οὖν ἀνδρὸς εὐεργεσίας, εἴπερ ἄνδρα χρὴ καλεῖν τὸν οὕτω θείαν ἐσκεμμένον τέχνην, πρῶτοι μὲν οἱ λατῖνοι γευσάμενοι ἐνεφορήθησαν ἄχρι κόρου. πολλαπλασιάσαντές τε τὰ συγγράμματα τῶν παρ' ἑαυτοῖς σοφίᾳ καὶ δυνάμει τοῦ λέγειν διαπρεψάντων ἐντελεῖς τῶν πεπαιδευμένων ἑκάστῳ παρεσκευάκασι βιβλιοθήκας. ἔπειτα δὲ καὶ οἱ περὶ χαλκονδύλην καὶ σὲ τοὺς αὐτόχθονας τῆς πρεσβυτέρας ἑλλάδος καὶ τοῖς ὠγυγίοις ἐκείνοις ἥρωσιν ὁμοσπόρους ἐπεχείρησαν ἡμεδαπῶν ἐν τυπώσει βιβλίων πολλάς τε ὁμήρων καὶ λουκιανῶν ἀπολλωνίων τε καὶ ἐπιγραμματογράφων ποιητῶν δαψιλῶς ἐπιδόντες φιλέλλησιν ἑκατοντάδας ἐπῃνέθησαν διαφερόντως. Τούτους Ἄλδος ὁ πολύτλας διαδεξάμενός τε καὶ ζηλώσας πάσῃ τε δυσχερείᾳ ὁμόσε χωρήσας συμπραττόντων αὐτῷ καὶ συνενεργούντων τῶν ἐνετίῃσι φιλοσοφούντων τῆς ἑλλαδικῆς μούσης τροφίμων μεγάλα τῷ ὄντι κατώρθωσε καὶ, ἤν τις ἐπιεικῶς καὶ μὴ πρὸς ἀπέχθειαν ἐξετάζειν ἐθέλῃ τὰ πράγματα, πολλῶν καὶ καλῶν εὐεργετημάτων ὑπῆρξε τοῖς λόγων ὀρεγομένοις· τῶν μὲν ποιητικῶν ὡς ἔπος εἰπεῖν ἁπάντων καὶ ῥητορικῶν ἡμῖν μεταδοὺς, τὰ δ' εὑρισκόμενα τῶν τ' Ἀριστοτέλους καὶ Πλάτωνος εἰς φῶς ἀναγαγών. Ἄλδου δὴ τελευτῇ λίαν ἀώρῳ καὶ τοῖς λόγοις ἐπιζημίῳ μεσολαβηθέντος, συνέβαινε τῶν γραικοτύπων τὴν δαιδαλουργίαν χηρεύειν. οὐ μὴν ἀλλ' Ἀνδρέας ἀσυλλαῖος, οὐ δαπανῶντος οἱ περὶ τὸν Ἄλδον χρημάτων καθ' αὑτοὺς ἐνδεεῖς ὄντες ἐτυπούργουν, πάλαι διεγνωκὼς τὰ φροντιστήρια τῶν ἐλλογίμων ἀνδρῶν, παντοδαπῶν καὶ δυσευρέτων μεστὰ ποιῆσαι βίβλων, οὐδὲν τῆς πρὶν ὑφῆκε προθυμίας. ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ τῇ πολυμαθεστάτῃ τοῦ Παυσανίου συγγραφῇ περιήγησιν μὲν ἑλλάδος ὑπισχνουμένῃ καὶ πάσαις ταῖς Ἀτθίδος τε καὶ πελοποννήσου μοίραις ἐπεξιούσῃ, μυρίας τε κώμας καὶ πόλεις εὐδαίμονας, ὧν οὐδὲ τὰ ἐρείπια νῦν λείπεται, καταλεγούσῃ καὶ πολλῶν μὲν ἱστοριῶν τῶν οὐ παντὶ προχείρων, ἀλλ' ὧν μεγάλη σπάνις, γεμούσῃ, πολλὰ δ' ὁδοῦ πάρεργον ἀξιομνημόνευτα παρενειρούσῃ καὶ τῷ συχνῷ τῶν ἐπεισοδίων ἀποφευγούσῃ τὸν κόρον, καὶ ὅλως τὸ κράτος καὶ τὴν εὐημερίαν τῶν τόθ' ἑλλήνων ἐνδεικνυμένῃ τέλος ἐπέθηκε σὺν θεῷ. ταύτην δέ σοι μάλιστα πάντων τὴν βίβλον πρεπῶδες ἦν ἀνατεθῆναι. σὺ γὰρ τῶν ἄλλων τὰ καθ' ἑαυτοὺς σκοπούντων κοινὸς ἁπανταχοῦ τῶν ἑλλήνων καθίστασαι προστάτης. σὺ ὡς οὐδεὶς ἕτερος ὑπὲρ τῆς ἑλλήνων σωτηρίας ἐγρήγορας πᾶσι τοῖς καιροῖς ἐπακολουθῶν καὶ πάντα κάλων σείων καὶ νῦν μὲν κελτῶν βασιλεῖς, νῦν δὲ ῥώμης ἀρχικράτορας θεραπεύων, ἐφ' ᾧτε τοὺς Ἕλληνας ἀπαλλαγέντας τῆς πικροτάτης καὶ χαλεπωτάτης δουλείας εἰς ἐλευθερίαν ἐξελέσθαι. Τούτου γὰρ ἐφίεσαι μόνου, τούτου φροντίζεις, τοῦτον νυκτὸς καὶ μεθ' ἡμέραν ἐννοεῖς, ὑπὲρ τούτου καὶ τοὺς ἐσχάτους κινδύνους ὑποσταίης ἂν καὶ μυρίων ἂν θανάτων καταφρονήσαις γενναῖος ὤν. Πρὸς τοῦτο πάντα σου τὰ πολιτεύματα τείνει, πρὸς τοῦτό γ' ἡ μεγαλοπρεπὴς καὶ μηδαμῇ χαμαίζηλός σου φύσις ἀνακλίνασα τὴν ψυχὴν ἀτενὲς ἀφορᾷ. τοὺς γοῦν περὶ τὸν ἀρχιερέα τὸν ἄκρον ἀνακοινουμένους ἑκάστοτέ σοι περὶ τῶν μεγίστων οὐ παύῃ παροξύνων προστῆναι μὲν τῆς εὐσεβῶν διαλλαγέντων πρὸς ἀλλήλους ξυμβάσεώς τε καὶ ὁμονοίας, προστῆναι δὲ τῆς πάλαι θρυλλουμένης τε καὶ ποθουμένης τῶν σταυροφόρων συνωμοσίας καὶ κατὰ τῶν

ἀσεβῶν ἐπιστρατείας· αἰσχρὸν δὲ ἢ[1]) *λέγων τοὺς εὐρώπης ἡγεμόνας καὶ βασιλεῖς περὶ μὲν ἑνὸς ἢ καὶ δυεῖν πολιχνίοιν δυστήνοιν τοσαῦτ' ἔτη ταλαιπωρεῖσθαι πολεμοῦντας, στάσεις τε καὶ σφαγὰς καὶ ταραχὰς ἐν ἰταλίᾳ ποιοῦντας καὶ τῷ χριστιανῶν αἵματι καταμιαίνοντας τὰ ῥεῖθρα τῶν ποταμῶν· τοσαύτας δὲ πόλεις καὶ χώρας παμφορωτάτας καὶ συνοικίας καὶ προσόδους διατελεῖν προιεμένους καὶ καρποῦσθαι τοὺς ἀθέους ἐᾶν. καὶ ταῦτα ῥᾴδιον ὂν εἴπερ ποτε καὶ νῦν ἁπάσης αὐτοὺς τῆς Ἀσίας ἐκβαλεῖν ἐκνενευρισμένους ἤδη ταῖς συνεχέσιν ἥτταις καὶ μὴ πάντως ἔχοντας ἀστασιάστως. τοὺς μὲν γὰρ τῷ βυζαντίου τυράννῳ, τοὺς δὲ τῷ δυνάστῃ γῆς περσίδος, ὡς ὀρθοτέρας ἔχειν περὶ τοῦ θείου δόξας νομιζομένῳ προσκεῖσθαι. καὶ οὐχ ὑπὲρ μὲν τοῦ σῶσαι τὴν ἑλλάδα πονεῖς, τῶν δὲ καθ' ἕκαστον ἑλλήνων ὑπερφρονεῖς, ἀλλὰ καὶ πρεσβεύων ἐνετίησι μηδένα τῶν ὁμόθεν τῆς γε σῆς ἐλευθεριότητος ἀπείρως ἔχειν ᾤου δεῖν. τῶν μὲν γὰρ τὰς θυγατέρας ἐξεδίδους ἐς γάμον, προῖκα πορίζων τὴν προσήκουσαν ἑκάστῃ· τῶν δὲ τοὺς υἱοὺς φύσεως μὲν μετειληχότας πρὸς τὸ μανθάνειν ἐπιρρεποῦς, τῷ δὲ πενίᾳ σφόδρα παρενοχλεῖσθαι καὶ μήθ' ὅπως ὠνοῖντο βιβλία μήθ' ὅπως τὰ δίδακτρα τοῖς καθηγηταῖς ἀποτίνοιεν ἔχοντας, ἡ σὴ φιλανθρωπία καὶ γενναιότης ἀμερίμνους τῶν ἀναγκαίων ἐποίει φιλοσοφεῖν. ἐῶ λέγειν τὴν θύραν, ἧς ᾤκεις οἰκίας, ὡς πᾶσι μὲν ἀνέῳκτο τοῖς δεομένοις, οὐχ ἥκιστα δὲ τοῖς ἕλλησιν, ὧν οὐδεὶς ἐκεῖθεν ἀγέραστος ἀπῆλθεν, ἀλλ' ἢ ποικίλων ἐδεσμάτων τραπέζης ἀπολαύσας ἢ τὸ βαλλάντιον ἐμπλήσας ὧν ἐδεῖτο στατήρων ἀργυρῶν τε καὶ χρυσῶν. καὶ νῦν ἐν ῥώμῃ διατρίβων τιμώμενός τε καὶ θαυμαζόμενος ὑπὸ τῶν ἐκεῖ, πρόξενος ὡς ἀληθῶς γέγονας τῶν ἑλλήνων, τοῖς μὲν ἀφικνουμένοις πολλάκις ὑπὲρ δύναμιν δωρούμενος, τῶν δ' ἀπόντων ἐπιμελούμενος, τοὺς δὲ φιλτάτους τοῖς περὶ τὸν κρατοῦντα συνιστάς· θαυμαστὰ μὲν οὖν καὶ ταῦτα σημεῖα δόξειεν ἂν τῆς σῆς πρὸς τοὺς ἕλληνας εὐνοίας. ὃ δ' ἐρεῖν μέλλω, πᾶσαν ὑπερβέβληκε καλοκαγαθίας εὐφημίαν. ὁρῶν γὰρ ἐνίους τῶν ἡμεδαπῶν διὰ τὴν πολυετῆ δουλείαν οὕτω μὲν ἐπιλαθομένους ἑαυτῶν, ὡς μηδέποτ' ἀνανήφειν καὶ μηδεμίαν ὅλως τῶν προγόνων ἔχειν ἔννοιαν, ἀλλ' ἐθελοκακοῦντας πολιτικοῦ βίου παιδεύσεώς τε καὶ ἀγωγῆς ὀλιγώρως ἔχειν· οὕτω δὲ κακοδαιμονᾶν, ὡς αὐτοὺς μὲν ἀπαιδευσίᾳ συζῆν καὶ τετυφῶσθαι· ἓν μόνον ἡγουμένους εἶναι σοφὸν καὶ διαρκέστατον τῆς ἐς οὐρανὸν ἀναβάσεως ἐφόδιον· τὸ μήτ' ἐλαίου γεύεσθαι, μήτ' ἐναίμων ἰχθύων, ἐν αἷς νηστεύουσιν ἡμέραις· τοῖς δὲ παιδείας ἐρασταῖς φθονεῖν ἐκ τοῦ προφανοῦς, τῶν ποιηταῖς ἢ φιλοσόφοις ἐνασχολουμένων εὐθὺς καταγιγνώσκοντας πολυθεΐαν τοιοῦτό, τι πρὸς τὴν θείλατον ταύτην ἡμῶν μεμηχάνησαι συμφοράν. ὡς γὰρ μὴ παντάπασιν ἀποσβεσθῇ τὸ σωζόμενον ἔτι τῶν ἑλληνικῶν λόγων καίπερ λίαν ἀμυδρὸν ὄν, οὐκ ὀλίγους ἔκ τε κρήτης ἔκ τε κορκύρας καὶ τῶν παραθαλασσίων τῶν πελοποννήσου μετεπέμψω νεανίσκους τῶν μήτε φύσιν ἀγεννῶν, μήθ' ὑπὸ χάσμης καὶ νωθρότητος ἐκνεναρκωμένων, ἀλλ' ἀγχινοίᾳ τε περισήμων καὶ τὸ ταλαίπωρον ἐχόντων ἐν τῇ ψυχῇ, οἳ νῦν ἐν ῥώμῃ μήτε στέγης μήθ' ἱματισμοῦ μήτε τροφῆς ἀποροῦντες μήτε σοφιστῶν ἐστερημένοι τῶν διδάσκειν καὶ βουλομένων καὶ εἰδότων θαυμαστὸν ὅσον περὶ ἄμφω προκόπτουσι τὼ λόγω· τοῦ πάντ' ἀρίστου καὶ μεγίστου ῥώμης ἀρχιερέως ΛΕΟΝΤΟΣ δεκάτου χορηγοῦντος·*

---

1) Haud scio an εἶναι scribi voluerit.

ἀλλ' ἐκεῖνοι μὲν αὐξηθέντες καὶ παιδευθέντες εἰ μὴ μέλλοιεν δίκην ἀγνωμοσύνης ὀφλήσειν, τὴν ἐπίδειξιν, ὧν ἐκμεμελετηκότες ἔσονται λόγων, ἐκ τῶν ἐγκωμίων ἐνστήσονται τῶν κατὰ σοῦ. καὶ γὰρ ἐμμέτρως ᾄδοντες, καταλογάδην τε συγγράφοντες κηρύξουσι τὴν λαμπρότητα τοῦ γένους, ᾧ σὺ μάλιστα δίκαιος εἶ σεμνυνόμενος, ὑμνήσουσι τῶν προγόνων σου, τῶν πανσεβάστων τῆς ἑλλάδος αὐτοκρατόρων τὴν ἀρετήν· οὓς ὠμῶς διεδέξαντο καὶ ἀπανθρώπως οἱ διὰ τὴν σφετέραν αὐτῶν μοχθηρίαν τὸ μὲν τούρκων ἔθνος τηλικοῦτον καταστήσαντες, ἡλίκον ὁρῶμεν· τὸ δ' ἡμέτερον ἐκ βάθρων καθελόντες μνημονεύουσιν, ἧς ἔτυχες ἀγωγῆς ἄντικρυς ἐλευθερίου καὶ τοῖς εὖ γεγονόσι προσηκούσης, ἀποκαλέσουσί σε πατέρα τῶν λόγων καὶ τῆς ἱπποκρήνης ἀνακαινιστὴν τῆς ἑλληνίδος· ἅτε δὴ παρημελημένην ἤδη παρ' ἕλλησι τὴν ποιητικὴν δύναμιν ἀνασώσαντα καὶ μετὰ πολλὰς ἐτῶν περιόδους πρῶτον ἄξια Μουσῶν οἷόν τε γενόμενον ᾆσαι. Τούτοις προσθήσουσι τὸ μέγεθος τῶν πολιτευμάτων καὶ τῆς φύσεώς σου τὸ περιδέξιον· πεφηνέναι γάρ σε μὴ μόνον ἐπιτήδειον ὄντα, προστετηκέναι τοῖς βιβλίοις, ἀλλὰ τοιαύτης μετειληχότα συνέσεως, ὡς καὶ πράξεις βασιλικὰς ἐπιτραπῆναι καὶ ἔθνεσιν ὅλοις καὶ πόλεσιν εὐνομουμένοις χρήσιμον ἑαυτὸν παρασχεῖν μεγάλων πραγμάτων προστασίαν ἐγκεχειρισμένον. οὐ σιωπήσουσί γε μὴν οὐδὲ τὸ εὔχαρι καὶ ἥμερον καὶ φιλάνθρωπον καὶ εἰλικρινὲς καὶ ἀκίβδηλον τῶν τρόπων, τῶν μήθ' ὑπὸ βασκανίας μήθ' ὑπὸ γλισχρότητος διεστραμμένων, ἀλλὰ παντὸς μικροπρεποῦς πάθους ὑψηλοτέρων· τελευτῶντες θαυμάσουσί σου τὸ ἀνεξίκακον καὶ τὸ ποτὲ μὲν ἐχέμυθον καὶ μυστηριῶδες, ποτὲ δὲ βραχυλόγον καὶ στρόγγυλον καὶ πρὸς τὰς ἐξαίφνης ὑπαντήσεις εὔστοχόν τε καὶ καίριον τῆς γλώττης ἐν ὀλίγαις μὲν λέξεσι πολλὰ σημαινούσης, ἁπλῶς δὲ μὴ προπετοῦς ἐς τὸ κακῶς εἰπεῖν τοὺς ἄρξαντας χειρῶν ἀδίκων ἢ καθάψασθαι πικρῶς τῶν ἁμαρτανομένων. ὃ δή σοι τοσαύτην περιεποίησεν εὐτυχίαν, ὡς μηδένα τῶν πάντων ἀνθρώπων, οἷς ἐχρήσω, μήτε δυσμενῶς ἔχειν πρὸς σὲ μήτε μισεῖν τὸ παράπαν τὴν ἱεράν σου κεφαλήν. τοὺς μὲν οὖν παῖδας ἐλπίζομεν, ἐπειδὰν ἰδέαν λόγου πανηγυρικὴν ἁρμοσθῶσι τῶν σῶν ἀρετῶν ἐφικέσθαι δυναμένην, ταῖς καλλίσταις τῶν φροντισμάτων ἀπαρχαῖς ἀμείψεσθαι τὸν εὐεργέτην. ἡμεῖς δ' οἷς πάνυ φαύλως καὶ ἀσθενῶς ὁ λόγος ἔχει, τῶν μειζόνων ἢ καθ' ἡμᾶς ἀφέμενοι, τῆς διανοίας πρὸς τὴν περιλάμπουσαν οἷον (?) αὐγὴν τοῦ μεγάλου Λασκάρεως δόξαν μὴ τολμώσης ἀντιβλέπειν, γονυπετεῖς εὐξόμεθα τῷ πάντ' ἐφορῶντι καὶ κυβερνῶντι θεῷ, ἵν' εἴπερ οἷόν τ' ἐστὶ περιαλγήσας τῇ ἀνεκδιηγήτῳ πανωλεθρίᾳ τῶν ἐλεεινῶν ἑλλήνων, τῶν πρὶν μὲν στρατηγίαις καὶ νομοθεσίαις ἐπιστήμαις τε καὶ τέχναις πολυειδέσι καὶ ταῖς εἰς ἅπαντα τὰ πέρατα τῆς γῆς ἀποικίαις τὸ ἀνθρώπειον γένος παιδευσάντων τε καὶ νουθετησάντων, ἡμερωσάντων τε καὶ κατακοσμησάντων, νῦν δὲ φθονῷ καὶ ἐπηρείᾳ τῆς κακῆς τύχης μήτ' αὐτοκρατορικοῖς σκήπτροις ἐρειδομένων μήτε πατρίδα (φεῦ τῶν κακῶν) ἢ πόλιν αὐτόνομον ἐχόντων, ἐς βαθὺ καὶ μακρὸν καὶ λιπαρὸν γῆρας διασώζῃ κἀπὶ δέκα παρατείναντας γενεὰς ὑγιεῖς διαφυλάττῃ ΛΕΟΝΤΑ, τὸν ὑπέρτατον ἱεράρχην καὶ σέ. τοῦ μὲν γὰρ παρορμῶντος, τοῦ δὲ κατορθοῦντος ὑμῶν ἐλευθερωθήσεται μὲν ἡ ἑλλάς· οἱ δὲ φιλομαθεῖς καὶ φιλοθεάμονες ἐμφιλοχωρήσουσιν ἀδεῶς τῇ πελοποννήσῳ τῶν βαρβάρων ἄρδην ἀφανισθέντων· καὶ τὸν Παυσανίαν ἀνὰ χεῖρας ἔχοντες ἀνέσεως χάριν περιοδεύσουσι τὰ πάντα κύκλῳ. τά τε συγγεγραμμένα τιθέντες τῶν ὁρωμένων ἐγγὺς μεγάλης ἐμπλησθήσονται τῆς ἡδονῆς. Εὐτύχει. Ἀπὸ βενετιῶν. Μηνὸς μαΐου εἰκάδι.

VII.

Henricus Stephanus in libro, qui inscribitur medicae artis principes, 1567, pag. 835—846 exhibet haec:

„De podagra libellus incerti autoris e Graeco sermone in Latinum a Marco Musuro versus", cui Mus. hanc praemisit praefationem.

(Cf. pag. 41).

Illustri et amplissimo viro reverendo Scaram. Triultio, antistiti Comensi referendarioque et assistenti Pont. Maximi dignissimo M. Musurus episcopus S.

En tibi, antistes amplissime, opusculum de podagra, Megaerae Cocytique subole, si Luciano credimus; parentes teterrimae illius pestis comminiscendae, cuius equidem in Latinum convertendi munus aliquandiu procrastinando detrectavi, quod sicut autor (quisquis haec ediderit) infans et elinguis erat, ut qui nesciret, si quid vel arte didicisset vel usu compertum habuisset, exprimere: sic ego, cui notum erat, quam nihil gloriae solerent interpretes e transferendis, quae non possunt nitescere, reportare, tergiversabar. Sed tandem nec praeclaro viro Iano Lascari bene de nobis merito, qui tuae praesul illustris valetudini consulens id mihi laboris iniunxerat, poteram flagitanti recusare, nec tibi non gerere morem audebam, cui neque quantum debeam neque quam magnum sim nomen, ignoro. Non me latet opera, quam mihi (quae tua fuit benignitas) navasti, quo tempore summus et optimus pontifex Leo X speciosis ac praeclaris antistitum titulis me condecoravit. Perlege igitur qualecunque id libelli est, quod amplitudini tuae nuncupatim dedicamus et perpende non chartarum numerum nec autoris vel excellentiam vel celebritatem, sed animum interpretis, qui pro dignitate tua longe maiores subire labores longeque maiora tibi praestare officia paratus est.

Peto a Deo opt. max. summisque votis exposco, si preces cum innocentis et candidi cordis unquam exorarunt, ut hic noster libellus, protinus quam fuerit perlectus abs te, eiciat ab artibus nervis ac medullis tuis omnem podagricam saevitiam et infestationes. Dignus enim es, non qui iacens in lectu crucieris et eiules, sed cuius e bona valetudine, sapientissimo consilio, rerum divinarum et humanarum prudentia tam uberes quam consuetos ecclesia Dei fructus percipiat ac degustet. Sit sospes ac felix amplitudo V., cui me etiam atque etiam commendo.

(Iam sequitur versio libelli ipsa, quatuor paginas maximae formae explens, quam apponere superfluum videtur, quamvis elegantissime sit scripta; subscriptum est: Romae, Calendis Aprilis MDXVII, Leone X pont.)

VIII.

Marci Musuri epistola ad Ioannem Gregoropulum.

(Cf. pag. 8. 51.)

(Huius epistolae quod dicitur facsimile invenitur apud Renouardum, tomo III, pag. 282, edit. 1; versio francogallica pag. 284).

Ἀδελφὲ μου προσφιλέστατε, εἴης ὑγιαίνων καὶ ἐπὶ πᾶσιν εὖ ἔχων. ὑγιαίνομεν καὶ αὐτοὶ θεοῦ ἐλεοῦντος. τὰ μὲν ἐμὰ ὅπως ἔχει ὁ ἀποδιδούς σοι τὰ γράμματα, τῶν ἄρχοντος θαλαμηπόλων εἷς ὤν, πλατέως ἂν εἴποι. πάντως δ᾽ οὐδὲν ξυνέβη καινόν· ἀλλ᾽ ᾗ καὶ πρότερον εἶχε, καὶ νῦν γε διακεῖται. περὶ δὲ τῶν σῶν ἀγνοοῦντες, ᾗ προὔβη, τῷ μηδὲν ἀπειληφέναι παρά σου πολλοῦ γε ἤδη χρόνου γραμμάτιον, τοῦθ᾽ ὅπερ ὑπολείπεται καὶ ἐφ᾽ ἡμῖν ἐστιν, ἐτ δοσιν ἐπὶ τὸ βέλτιστον ἔχειν αὐτὰ καὶ γλιχόμεθα καὶ εὐχόμεθα. Ὅπως μέντοι βεβαίως ἐν οἷς εἴης εἰδῶμεν, κλέψαι σαυτὸν ἀπὸ τῆς περὶ τύπους ταλαιπωρίας χρόνον, ὅσον ἀρκέσαι πρὸς μέτρον ἐπιστολῆς. πρῶτον μὲν αὐτὸ τοῦτο δῆλον, ἔπειτα δὲ εἴ τινά σοι παρὰ τοῦ πατρὸς ἧκει νέον γράμματα, πρὸς δὲ καὶ εἴ τις ἐνετιάζεν Κρήτηθεν ἦλθε νεωστὶ τῶν γνωρίμων. Τρίτον εἰ νῦν ἐνποιεῖται παρ᾽ ὑμῖν, ὅτι καὶ λόγου ἄξιον καὶ περὶ τοῦ καθηγησαμένου παίδων ὄντων ἡμῶν ἱστοδιακόνου (ἱεροδιακόνου?) πότερον ἐν Ἐνετίῃσιν ἔτι διατρίβει, ἢ πάλιν οἴκαδε καλῶς ποιῶν ἀνεκομίσθη. καὶ πότερον ἀπείληφεν, ἅπερ αὐτῷ πρώην ἐπέσταλκα γράμματα, ἢ ἐκεῖνα μὲν ὑπὸ τοῦ δεῖνος ἐμεσολαβήθη, αὐτὸς δὲ πρότερον ἐπιστεῖλαι πρὸς ἡμᾶς οὐκ ἂν καταδέξαιτο. Ταῦτ᾽ οὖν ἐμοί, φίλτατε, πάντα μηνύσας θαυμαστὸν ὅσον κεχαρισμένος ἔσῃ. Τῷ δ᾽ αὐτῷ καὶ σὺ διακομιστῇ χρῆσθαι δεήσῃ. Ἐρρωμένως καὶ εὐμαρῶς διαβιοίης, περιπόθητε. Ἀπὸ Κάρπου βοηδρομιῶνος εἰκάσι.

Μάρκος ὁ σός.

Ἀνάμνησον τὸν κύριον Ἄλδον τοῦ πέμψαι μοι τὸ τετρίδιον, οὗπερ ἐνδεῖν τῷ ὡρολογίῳ μου ὁ ἱλάριος οἶδεν.

In folio verso scripta sunt haec:

Eruditissimo viro domino
Ioanni Gregoropylo cre(ten-)
si tamq̄ fri suaviss.
(h. c. tamquam fratri suavissimo).

Venetiis

I. Casa d m*p* Aldo (h. c. messer Aldo)
Apresso Sancto Augusti(no)
doue se stampa.

10

IX.

Marci Musuri epistola ad M. Franciscum

(cf. pag. 42. 51.)

(exstat apud Bernardinum Pinum in hoc libro: nuovo scielta di lettere de diversi, 8°, Ven. 1574; tom. II, pag. 145).

A. M. Francesco (Attaro?).

Signor M. Francesco mio honorando, desidero d'intender come voi altri la passate costi in questi turbolenti e calamitosi tempi: che in vero non siamo qui senza fastidio grande; considerando che l'uittorioso dracone vi e molto vicino. Della lettera, che mi scriveste, io n'ho letta una parte, cio è quella, che raccontava il conflitto degl' infideli, alla Santita del N. S. e al Monsignor Reverendiss. de Medici, mio benignissimo patrone. Tutte due monstrarono d'haver molto caro il vostro aviso. per tanto io vi prego, che spesso vogliate darne qualche notitia dei successi belli Aegiptiaci, perche qui raccontana le cose in varii modi. Il mio prefato Reverendissimo Cardinale[1]) è fatto Vicecancell. mostra piu tosto con fatti e con parole di far qualche conto di voi medesimamento il Papa. Si che se vi bisogna cosa alcuna da questa corte, io mi offerisco per fattor e procurator delle vestre cose. come altre volte vi scrissi, io non volsi menar meco il nostro gentil e da ben figlio Fedro: perche non haveva fermezza del mio rimanere in questa terra e oltra di ciò intendeva, che l'academia Greca de Signor Lascari[2]) era piu che piena di fanciulli. E cosi era il vero. poi concludessimo finalmente esso M. Lascari e io, di mandar via piu tosto alcun di quelli, che c'e' erano, a fine che secondo il dovere il figlio di M. Francesco Attaro gentil'huomo da bene e d'assai ed amico nostro precipuo, havesse loco. Et cosi, quantunque per le mie prime havessi scritto a messer Antonio de Benedetti, che era poco ordine che'l Fedro venisse qui, nondimeno dopò la prefata conclusione li scrissi con istantia che 'l mandasse. hora etiam li replico. io credo, che non habbia mandato, havendo havuto rispetto di questi tumulti di Romagna, i quali hanno molto perturbato la tranquillita di questo corte e perturbano tutta via non senza grandissima spesa e sommo fastidio del N. S. non credo etiam, che hora il mandi: perche oltre che le vie non sono sicure per la causa sopradetta, e caldi sono sopergiunti, e sapete ben, che quest' aere di Roma non fa tal volta bon accetto a chi il visita primamento in simil stagione. per tanto a me parebbe, secondo etiam che scrivo al prefato M. Antonio che'l fanciullo venisse in questo Settembre, s'el mondo non ruina altramente. sara poi il ben venuto e sara ben visto dal I. M. Lascari e ben trattato, molto ben ammaestrato in Latino ne in Greco nella Academia sua sustentata dal N. S. oltra di cio hara qui me un altro padre: dove potra ricorrere sempre in ogni suo bisogno alle mie piccole forze, perche e

---

1) Cf. pag. 41.

2) Cf. pag. 37 seq. 42.

con fatti e con parole e con ammonitioni e con essortationi a ben vivere, breviter con tutto quello aiuto, che li potro dare, non li manchero. Interea prego Dio, che conservi sano e lui in Vinetia e vostra S. costi, insieme con il clarissimo e gentilissimo suo fratello: a cui per mille volte mi raccomandarete. prego vi tutte due, che di me tanto vi promettiate, quanto di un terzo vostro fratello. Valete ambo felices, mei memores.

In Roma.

alli XVIII di Maggio MDI.[1]

Vostro come fratello
Marco Musuro Arcivescovo.

1) Falsum esse hunc annum, quod iam observasse Tiraboscum retuli pag. 52, testimonio est, quod anno 1501 Mus. nondum fuit Archiepiscopus; quo autem anno putandum sit hanc epistolam esse conscriptam, non est in obscuro, cum Maio mense 1516 Mus. nondum esset ad episcopatum evectus, Maio mense 1518 iam esset mortuus, ut silentio transeam res, quae commemorantur, a Selimo imperatore in Aegypto gestas esse anno 1517, cf. Paton „A history of the Egyptian Revolution, 8°, London 1863, vol. I, pag. 66.

X.

Marci Musuri Cretensis carmen Platonis editioni Aldinae praefixum et Leoni X dicatum.

(Cf. pag. 38. 50.)

Μ. Μουσούρου.

Θεῖε Πλάτων, ξυνοπαδὲ θεοῖς καὶ δαίμοσιν ἥρως
Πασσυδίῃ[1]) μεγάλῳ Ζηνὶ παρεσπομένοις,
Ἅρμα κατ' οὐρανὸν εὐρὺν ἀελλοπόδων ὅτε πώλων
Κεῖνος ἐλᾷ[1]) πτηνῷ δίφρῳ ἐφεζόμενος,
Εἰ δ' ἄγε νῦν κατάβηθι λιπὼν χορὸν οὐρανιώνων
Ἐς γῆν ψυχοφυῶν εἰρεσίῃ πτερύγων·
Καὶ λάζευ τόδε τεῦχος· ὃ σωκρατικὴν ὀαριστὺν
Ἀμφὶς ἔχει καὶ σῆς κεδνὰ γένεθλα φρενός.
Ὡς ἐνὶ κοσμοτέχνης ὀκτὼ πτύχας οὐλύμποιο
Ἐξ ἰδίων ἕλκων ἀρχέτυπον πραπίδων
Δείματο χαρπαλίμως· ὑπάτην σελάεσσιν ἀπείροις
Δαιδάλλων· τήν περ κλείομεν ἀπλανέα.
Τὰς δ' ἄρ ὑφεξείης μονοφεγγέας ἐξετόρευσεν
Αὐτόθεν ἀχρονίης ἀντία κινυμένας.
Ἡ σφέας ὀρνάζουσα παλιμπλάγκτοιο κελεύθου
Σύρει ἀναγκαίῃ· ται δὲ βιηζόμεναι
Οὐκ ἀέκουσαι ἕπονται· ὅμως ἑὸν οἶμον ἑκάστη
Ἔμπαλιν ἐξανύει βάρδιον[2]) ἢ τάχιον·
Ὡς ἐνὶ κεδρὸς ἔρως ἀπὸ γαίης ὑψόσ' ἀείρων
Ἱερῷ ἄμμε φλέγει κάλλεος οὐρανίου·
Ὡς ἐνὶ σὺ ψυχῆς φύσιν ἄφθιτον, οὐ δ' ἀμενηνοῦ
Σκίρτευς ὀλλυμένου δεῖξας ἀπολλυμένην.
Ἄλλοις δ' εὐγενῶν πόλιν οὐρανογείτονα φωτῶν
Κτίζεις· οἷσι μέλει πότνια δικαιοσύνη
Ἠδὲ καὶ εὐνομίη κουροτρόφος· οὐ δ' ἀπ' ἐκείνου
Νόσφιν ἀπετραπέτην ἄστεος ὅσσε πάλιν
Αἰδὼς καὶ νέμεσις· τίς ἕκαστά κε μυθολογεύοι,
Ὅσσα θεοπνεύστοις ταῖς δ' ἐνέθου σελίσι;
Τὰς γε λαβὼν ἀφίκοιο πόλιν βασιληΐδα πασέων,
Ὁππόσας οὐρανόθεν δέρκεται ἠέλιος,
Ῥώμην ἑπτάλοφον γαίης κράτος αἰὲν ἔχουσαν·
Ἧς διὰ μεσσατίης θύμβρις ἑλισσόμενος
Κοίρανος ἑσπερίων ποταμῶν κερατηφόρος εἶσιν
Οὖθαρ πιαίνων βώλακος αὐσονίης.

---

1) ι subscr. deest in Ald.

2) Hanc formam ceteroquin non usitatam Mus. in Hesychio invenisse videtur, ubi nunc legitur *βράδιον*, cf. Hesych. ed. M. Schm. s. v. *βάριον*, H. Stephani thesaurus s. v. *βάρδιον*.

Zenobii Acciaioli metaphrasis poetica eiusdem Musuri carminis
(transscripta ex editione Ph. Munckeri, Amst. 1676).

Dive Plato, innumeris heros comes addite Divis,
Quos iuvat immensi post Iovis ire rotas,
Cum rapido invectus coeli per inania curru
Alipedes agitat turbinis instar equos:
Remigio alarum terras delapsus ad imas,
Illustres superum nunc age linque choros,
Ac librum tibi sume, tuae qui germina mentis
Sacra habet, et doctum Socratis eloquium.
Hic docet, octonos ut coeli conditor orbes
Ingenuo mentis cudit ab archetypo:
Quorum supremus variis fulgoribus ardens
Emicat et fixo nomen ab igne trahit.
Singula dehinc alii sortiti sidera contra
Fornicis octavi lumina lumen agunt.
Namque hic suppositos violento numine raptans
Retrahit: ast illi, qua ciet imperium,
Regressi, tacito sua quisque volumina nixu
Perficiunt tamen; hic serius, hic citius.
Per te sanctus Amor potiore cupidine captos
Urit et a terris sidera ad alta rapit.
Quippe doces hominum labefacto corpore mentes
Vivere perpetuos et superesse dies.
Civibus hic etiam moliris proxima coelo
Moenia, qui curent munera iustitiae,
Ac legum iussa alma ferant; nec ab urbe decora
Divertere oculos numina sancta suos
Et Pudor et Nemesis. Verum quis singula narret,
Quae tibi conscriptae dia ferunt tabulae?
Has cape dum comites atque altae regia Romae
Septa subi, qua nil maius ab arce poli
Sol videt: haec domitis septeno a culmine terris
Imperat et flavo Tibride secta nitet,
Corniger Hesperidum fluvius, qui rector aquarum
Ausoniis laetum sufficit uber agris.

Ἐλθὼν δ' οὐ σικελῶν ὀλοόφρονα κεῖθι τύραννον,
Ὠμοφάγον σκύλλης λευγαλέης τρόφιμον,
Ὑβριστὴν μουσέων διονύσιον, ἀλλά γε δήεις,
Ὧι τόθ' ὁμοῖον ἰδεῖν φῶτα μάτην ἐπύθεις·
Ἀμφότερον σοφίης τε πρόμον καὶ ποιμένα λαῶν,
Ὁππόσοι εὐρώπην ναιετάουσιν ὅλην·
Λαυριάδην, ἐρατῆς φλωρεντίδος ἀστέρα πάτρης
Λαμπρόν· ἀτὰρ Μεδίκων τῶν ὀνυμαστοτάτων,
Τηλεθόον, καλὸν ἔρνος, ἀειθαλὲς, ἀγλαόκαρπον,
Τοπρὶν Ἰωάννην· νῦν δ' ἄρ ἀπειρεσίων
Γαιάων ἐσσῆνα[1]) *ΛΕΟΝΤΑ, κράτιστον ὀλύμπου*
Κλειδοῦχον· τοῦ νεῦμ' ὡς διὸς ἀζόμεθα·
Πᾶς ὃν ἄναξ σέβεται γουνούμενος· οὐ δέ τις αὐτῷ
Τολμᾷ σκηπτούχων ἀντιφεριζέμεναι.
Εἰσβὰς δ' ὀλβιόδαιμον ἀνάκτορον εὐθὺς ἐραστὰς
Σεῖο, Πλάτων, πολλοὺς ὄψεαι ἐν μεγάροις·
Παντοίαις ἀρεταῖσι μεμηλότας· ἠδ' ὀαριστὰς
Τερπνοὺς καὶ πινυτοὺς Ζηνὸς ἐπιχθονίου,
Πάντοθεν οὓς αὐτὸς μετεπέμψατο· καὶ σφίσι χαίρει
Τιμήεντα διδοὺς καὶ πολύολβα γέρα.
Ἔξοχα δ' αὖ περὶ κῆρι φιλεῖ δύο· τὸν μὲν ἀφ' ἱρῆς
Ἑλλάδος οὐχ ἕνα τῶν, οἳ πελόμεσθα τανῦν
Ῥωμαῖοι γραικοί τε καλούμενοι· ἀλλὰ παλαιοῖς
Ἀτθίδος ἢ σπάρτης εἴκελον ἡμιθέοις·
Λασκαρέων γενεῆς ἐρικυδέος ἄκρον ἄωτον
Καὶ τριπροσωποφανοῦς οὔνομ' ἔχοντα θεοῦ.
Ὅς μ' ἔτι τυτθὸν ἐόντα πατὴρ ἅτε φίλτατον υἱὸν
Στεργόμενος περὶ δὴ στέρξεν ἀπὸ κραδίης·
Καί μοι στεινὸς ὁδοῦ πρὸς ἀχαιΐδα μοῦσαν ἀγούσης
Δεῖξεν ἀριγνώτως μοῦνος ἐπιστάμενος.
Τὸν δ' ἕτερον τριπλαῖσι κεκασμένον εὐεπίῃσι
Καὶ πλασθέντα τριῶν χερσὶ σοφαῖς χαρίτων,
Βεμβιάδην ἥρωα· πατὴρ δὲ συνίστορα πάντων
Θῆκεν ἀπορρήτων οὔατα τοῦδε μέγας,
Πάντα οἱ ἐξαυδῶν μελεδήματα πορφύροντος
Θυμοῦ, ἀναπτύσσων τ' ἦτορ ἔνερθεν ὅλον.
Κεῖνοι δή σ' ἐσιδόντες ἀγινήσουσιν ἐς ὦπα
Πατρός· ὁ δ' ἀσπασίως δέξεται· ἀλλὰ σύπερ,
Ἣ θέμις, ἀχράντου δράξαι ποδός· ἵλαθι[2]) *λέξας,*
Ὦ πάτερ, ὦ ποιμὰν, ἵλαθι[2]) *σαῖς ἀγέλαις.*

---

1) Vox rarissima, quae non Graecae originis esse videtur, Musuro ex Hesychio nota erat, ubi *βασιλεὺς* explicatur.
2) Ald. exhib.: *ἴλαθι.*

Non ibi Sicaniae truculento corde tyrannum,
Qui vitam Scyllae duxit ab uberibus,
Infestum Musis Dionysion invenies, sed
Quem frustra optabas cernere posse virum:
Quippe idem sapiens regni quoque tractat habenas
Europae et populos sub sua sceptra videt:
Laurenti soboles, patria et Florente coruscum
Sidus, ab illustri sanguine Mediceo:
Perpetuo Charitum pubescens ramus honore,
Olim Iohannes, nuper ab imperio
Terrarum LEO rex, magni patefactor Olympi,
Cuius et ad nutum non secus atque Iovis
Corda pavent, Reges submissi numen adorant,
Audeat et nemo par sibi ferre caput.
Protinus ingressus palatia sancta videbis
Mille tui cupidos, pectora culta, viros,
Prudentes animi et iucundo rhetoras ore,
Terreni multos ad latus esse Iovis.
Undique nam tales accit preciosaque large
His alacri gaudet munera ferre manu.
Sed duo praecipue caros habet; alterum ab ipsa
Hellade, non quales de grege turba sumus,
Romani Graecique homines; sed ab Attide prisca
Spartanisve unum Semideis similem:
Gentis Lascareae summum decus, inclyta numen
Cui sua dat Ianus nomina ferre biceps.
Non secus ac natum teneris me hic fovit ab annis,
Pectoris et patrii pignora certa dedit;
Angustumque viae, Clius quae ducit ad undas,
Indice monstravit conscius ipse manu.
Ast alium triplici cultum modulamine linguae
Tergeminae Charites composuisse ferunt:
Bembiaden heroa, Pater cui sanctus in aures
Arcana instillat pectoris alta sui,
Cunctaque curarum pandit revolumina et aestus
Ambigui cordis multiplicesque sinus.
Protinus hi placido coram te Principe sistent:
Ipse autem ritus fac memor usque, sacris
Oscula des pedibus, numenque precator et, o, dic,
O pater, o miseras aspice pastor oves:

Δέξαιο δ' εὐμενέως δῶρον τό, περ Ἄλδος ἀμύμων
Δεψηταῖς ἐρίφων γραπτὸν ἐν ἀρνακίσι
Πρόφρων σοι προΐησι, διοτρεφές· αὐτὰρ ἀμοιβὴν
Τῆς δ' εὐεργεσίης ᾔτεε κεῖνος ἀνήρ·
Οὐχ ἵνα οἱ χρυσόν τε καὶ ἄργυρον, οὐδ' ἵνα πέμψης[1]
Ἐμπλείην ῥηγέων λάρνακα πορφυρέων·
Ἀλλ' ἵν' ἀποσβέσσης[1] *μαλερὸν πῦρ ἀλλοπροσάλλου*
Ἄρηος· τῷ νῦν πάντ' ἀμαθυνόμενα
Ὄλλυται· οὐκ ἀΐεις ὡς εὐγανέαις ἐν ἀρούραις
Πάντα πλέω λύθρου, πάντα πλέω νεκύων;
Παίδων δ' οἰμωγὴν καὶ θηλυτερῶν ὀλολυγὴν
Ὤικτισε μὲν Κύκλωψ, ᾤκτισε δ' Ἀντιφάτης.
Φλὸξ δ' ὀλοὴ τεμένη τε θεῶν οἴκους τε πολιτῶν
Δαρδάπτει μογερῶν τ' ἀγρονόμων καμάτους·
Ὅσσων δ' αὖθ' ἥφαιστος ἐφείσατο, ταῦτ' ἀλαπάζει
Βάρβαρος, οὐ στοργὴν οὐδ' ἐλεητὺν ἔχων.
Παῦσον, ἄναξ, χάρμην ἐμφύλιον· ἔνθεο σοῖσιν
Υἱάσιν εἰρήνην καὶ φιλότητα, πάτερ·
Σχέτλιος ἢν τετυγὼν Ἄρης πολυβενθὲς ἐς ἄντρον
Ὧτε λίθοις φράξας πῶμα κατωρυχέσιν·
Ἀλλὰ σύ μιν μοχλοῖσιν ἀνέλκυσον, ἠδὲ λύγοιο
Δεῖξον ἰδεῖν θείου λύτρισιν ἀρτεμέα
Εἰρήνην, πολύκαρπον, εὔφρονα, βοτρυόδωρον,
Εἰρήνην κόσμῳ παντὶ ποθεινοτάτην.
Αὐτὰρ ἀριθμηθέντας ἐπιπροΐαψον ἅπαντας
Τουρκογενῶν ἀνόμοις ἔθνεσιν αἰνολύκων·
Οἳ χθόνα δουλώσαντες Ἀχαιΐδα νῦν μεμάασι
Νανσὶ διεκπεράαν γῆν ἐς ἰηπυγίην,
Ζεῦγλαν ἀπειλοῦντες δούλειον ἐπ' αὐχένι θήσειν
Ἄμμιν· ἀϊστώσειν δ' οὔνομα θειοτόκου.
Ἀλλὰ σὺ δὴ πρότερος τεῦξον σφίσιν αἰπὺν ὄλεθρον
Πέμψας εἰς Ἀσίης μυρία φῦλα πέδον·
Χαλκεοθωρήκων κελτῶν θοῦριν ἐνυώ
Ἵππους κεντούντων πρώεσιν εἰδομένους·
Αἰθώνων μετέπειτα σακέσπαλον ἔθνος ἰβήρων
Καὶ μέλαν ἐλβετίης πεζομάχοιο νέφος·
Γερμανῶν τε φάλαγγας ἀπείρονας ἀνδρογιγάντων[2]
Τοῖς δ' ἐπὶ βρεττανῶν λαὸν ἀρηϊφίλων·
Πάσης τ' ἰταλίης ὅσ' ἀλεύατο λείψανα πότμον
Οὐδὲ διεῤῥαίσθη δούρασιν ἀλλοθρόων.
Ἄλλοι μὲν τραφερῆς δολιχὰς ἀναμετρήσαντες
Ἀτραπιτούς, ἀν' ὄρη καὶ διὰ μεσσογέων

---

1) ι subscr. deest in Ald.
2) Cf. pag. 51.

Munus et hoc Aldi cape laetus, ubi Attica rasis
    Pellibus hoedorum verba notata leges.
Alme tibi Pater haec Aldus dat dona volenti
    Pectore; sed contra munus et ipse petit:
Non auri cumulos argenti aut pondera cusi
    Altave purpureis scrinia plena togis:
Sed mage, ut infidi tollas incendia Martis,
    Omnia qui lato proruit exitio.
An non Euganeos audisti ut sparsa per agros
    Caesorum tetro sanguine surgat humus?
Iam puerum lamenta et femineos ululatus
    Antiphate, lacrumas et, Polypheme, tibi
Elicuisse reor. Quid enim, quod templa domosque
    Usserit ac segetes hostica flamma, queror?
Vel quod forte rapax si quid non attigit ignis,
    Efferus immiti barbarus ense metat?
Civiles cohibe pugnas, Pater; insere amorem
    Cordibus ac natis foedera sancta tuis:
Quae Mars in barathrum sinuosi compulit antri,
    Oraque consepsit molibus impositis:
Subice tu vectes et grandia saxa revelle,
    Prodeat ut populo conspicienda pio
Pax hilaris frugumque ferax et onusta racemis,
    Orbis et in nullo non cupienda loco.
Quod si bella iuvant, acies in barbara regna
    Turcorum et rabidos hinc age mitte lupos:
Qui nunc classe parant, Danais iam Marte subactis,
    Traicere ad terrae littus Iapygiae,
Quique iugum nobis et ferrea vincla minantur;
    At Christo et Mariae nominis exitium.
Tu prior electis, tu milibus Asida comple,
    Hostibus ut lethi tristia damna feras.
Mitte acrem et validum ferrato pectore Celtam,
    Qui similes altis montibus urget equos;
Huic fuscus succedat Iber ancilia vibrans;
    Et pedes Helvetii turbinis arma fremat;
Germanique suos moveant ad bella gigantes;
    Martius extrema classe Britannus eat.
Quicquid et Ausonii non roboris abstulit ensis
    Civicus, aut alia spicula torta manu.
Hi pedibus terrestre terant iter, ardua densi
    Per iuga, per planis aequora secta viis,

Καὶ ποταμῶν διαβάντες ἀεὶ κελάδοντα ῥέεθρα,
Δυσμενέεσσι γένους κῆρα φέροιεν ἐμοῦ,
Θωρηχθέντες ὁμοῦ σὺν παίσσιν ἀγκυλοτόξοις,
Τοῖς θαμὰ τουρκάων αἵματι δευομένοις.
Αὐτὰρ χιλιόναυς βενέτων ἁλὸς ἀρχιμεδόντων
Οὐλαμὸς, ὠκυάλοις ὁλκάσι μαρνάμενος,
Καὶ νέες ἱσπανῶν[1]), μεγακήτεες, οὔρεσιν ἶσαι,
Αἳ κορυφὰς ἱστῶν ἐντὸς ἔχουσι νεφῶν,
Εὐθὺς ἐς ἑλλήσποντον (ὑπὲρ καρχήσια δὲ σφέων
Αἰὲν ἀειρέσθω σταυρὸς ἀλεξίκακος)
Ὁρμάσθων· ἦν γάρ τε πόλει βυζαντίδι πρώτη
Νόστιμον ἀστράψῃ[2]) φέγγος ἐλευθερίης,
Αὐτὴν κεν θλάσσειας ἀμαιμακέτοιο δράκοντος
Συντρίψας κεφαλήν· τἄλλα δὲ τοῖο μέλη
Ῥεῖ' ἀλαπαδνὰ γένοιτο· λεὼς ὅτι θάρσος ἀείρας
Γραικὸς ὁ δουλείᾳ νῦν κατατρυχόμενος,
Ἀρχαίης ἀρετῆς, ἵν' ἐλεύθερον ἦμαρ ἴδηται,
Μνήσεται οὐτάζων δήϊον ἐνδομύχως·
Αὐτὰρ ἐπεὶ κτείνωσιν ἀλάστορας ἢ πέραν ἰνδῶν
Φεύγοντας κρατερᾷ γ' ἐξελάσωσι βίῃ,
Αὐτῆμαρ σὺ θεοῖς ἐπινίκιον ὕμνον ἀείδων
Καὶ μεγάλης χαίρων εἵνεκε χαρμονίης,
Ἀνδράσι νικηταῖς στεφανηφόρα κρᾶατ' ἔχουσιν
Ἀσίδος ἀφνειῆς πλοῦτον ἀπειρέσιον,
Τουρκάων ἄφενός τε ῥυηφενίην τε καὶ ὄλβον,
Ἑξηκονταετὴς ὃν συνέλεξε χρόνος,
Χερσὶ τροπαιούχοις διαδάσσεαι ἀνδρακάς· οἱ δ' αὖ
Σκυλοχαρεῖς πάτρης μνησάμενοι σφετέρης,
Μέλψονται καθ' ὁδὸν παιήονα· καὶ πρύλιν ὅπλοις
Ὀρχήσονται ὅλᾳ ψυχᾷ[3]) ἀγαλλόμενοι.
Καὶ τότε δὴ ποτὶ γαῖαν ἀπ' οὐρανοῦ εὐρυόδειαν
Πτήσεται Ἀστραίου πρέσβα δίκη θυγάτηρ
Μηκέτι μηνίουσα βροτοῖς· ἐπεὶ οὐκ ἔτ' ἀλιτρὸν,
Ἀλλ' ἔσται χρυσοῦν πᾶν γένος ἡμερίων
Σεῖο θεμιστεύοντος ὅλῃ χθονί, καὶ μετ' ὄλεθρον
Δυσσεβέων οὔσης πανταχοῦ ἠρεμίης.[4])
Καὶ τὰ μὲν εἴθε γένοιτο· μαθήμασι νῦν δὲ παλαιῶν
Ἑλλήνων, ὦναξ, ἄρκεσον οἰχομένοις·

---

1) Ald. exh.: ἱσπανῶν.
2) Deest ι subscr. in Aldina.
3) In hac voce deest ι subscr in Ald.
4) Ald. exh.: ἠρεμίης, quod Muncker depravavit in ἡμερίης; idem „die" scribit in versione, cum Zenob. Acciai. verterit „pace".

Traiectuque ultra resonantia flumina vecti,
Hosti fata meae gentis iniqua ferant.
Hos et lunato comitentur Paeones arcu,
Tincta quibus Turco sanguine tela rubent.
At Veneti undarum domini super aequora mille
Navibus ad pugnae fortia facta citis:
Hispanaeque rates celis ac montibus aequae,
Utpote quae malo nubila celsa petunt:
Ilicet ad Ponti fauces (carchesia semper
Instructae gabalo summa salutifero)
Convolitent. Nam si Byzanti ad moenia primum
Libertas alma luce reversa micet,
Protinus indomiti caput et virosa draconis
Auspice compressu corpora trita pedis.
Omnia dispereant, animos et Achaica pubes
Eriget, in vinclis quae modo pressa iacet.
Ac memor antiquae virtutis commoda cernens
Tempora sub tectis vindice freta manu,
Irruat in cladem scelerum: vel trans iuga pulsos
Indica veloci cogat abire fuga.
Hic tu autem grato veneratus numina cantu
Victor ovans, hilari corde tropaea feres,
Utque coronato claudent te vertice turmae,
Hic Asiae magnas dinumerabis opes,
Gazaque Turcorum [1]) loculis abstrusa vetustis,
Quam duodena nefas cernere lustra fuit,
Splendebit victrice manu partita viritim;
Moxque domum remeans et stipe laeta cohors
Et spoliis Paeana canent, armataque longo
Tollere gaudebunt corpora nexa choro.
Tunc quoque se coelo tenues delapsa per auras
Astraei in terras filia sancta feret,
Haut nostras osura domos: quando aurea cernet
Secula nec foedum iam superesse nefas,
Te latum moderante orbem: simul impia pessum
Turba ierit, cunctis pace nitente locis.
Annuat his utinam Deus: at doctissima Grais,
Quae pereunt, serva nunc monumenta, Pater;

1) Sic Muncker.

Θάρσυνον δ' ἑκάτοιο φιλαγρύπνους ὑποφήτας
Δώροις μειλίσσων καὶ γεράεσσι θεῶν.
Παντοδαπούς τε, πάτερ, ξυναγείρας ἠ μέν[1]*) ἀχαιῶν*
Ἠ δὲ πολυσπερέων υἱέας ἑσπερίων,
Πρωθήβας· καὶ μήτε φρενῶν ἐπιδευέας ἐσθλῶν
Μήτε φυῆς μήτ' οὖν αἵματος εὐγενέος,
Ἐν ῥώμη κατάνασσον, ἐπιστήσας σφίσιν ἄνδρας,
Οἳ σώζουσι λόγων[2]*) ζώπυρον ὠγυγίων.*
Ναίοιεν δ' ἀπάνευθε πολυσκάρθμοιο κυδοιμοῦ
Νηϊάδων προχοαῖς γειτονέοντα δόμον·
Τῷ δ' ἑκαδημείης ὄνομ' εἴη κυδιανείρης
Ζήλῳ τῷ προτέρης· ἣν ποτ' ἐγὼ νεμόμην,
Κούροις εὐφυέεσσιν ἐπισταμένως ὀαρίζων,
Τούς γ' ἀναμιμνήσκων, ὧν πάρος αὐτοὶ ἴσαν.
Ἀλλ' ἡ μὲν δὴ ὄλωλε· σὺ δ' ἣν καινὴν ἀναφήνῃς,[3]*)*
Ἔνθεν ἄρ εὐμαθίης πυρσὸς ἀναπτόμενος,
Βαιοῦ ἀπὸ σπινθῆρος, ἀναπλήσει μάλα πολλῶν
Ψυχὰς ἠϊθέων φωτὸς ἀκηρασίου.
Ἐν ῥώμῃ δέ κεν αὖθις ἀνηβήσειαν ἀθῆναι
Ἀντί τοι ἰλισσοῦ θύμβριν ἀμειψάμεναι.
Ταῦτά τοι ἐκτελέσαντι κλέος, πάτερ, οὐρανόμηκες
Ἐσχατιὰς ἥξει μέσφ' ἐς ὑπερβορέων.
Ποία γάρ ποτε γλῶσσα τεὴν, ποῖον στόμα φήμην
Ἠ ἀγορητάων ἢ καὶ ἀοιδοπόλων
Οὐκ ἂν ἐφυμνήσειεν· ἀμαυρώσει δὲ τίς αἰὼν
Τηλεφανῆ τοίης πρήξιος ἀγλαΐην·
Ταῦτα τεοῦ γενετῆρος ἀοίδιμον ἡ δὲ προπάππων
Πάντας ἐπ' ἀνθρώπους οὔνομα θῆκαν, ἄναξ.
Τῶν δὲ σέθεν προτέρων βῦξις κακὴ ἀρχιερήων
Κακκέχυται· ἅτε δὴ πάμπαν ἀρειμανέων
Καί τε φιληδούντων ἀνδροκτασίαις ἀλεγειναῖς
Καὶ κεραϊζομένοις ἄστεσι τερπομένων.
ΤΟΪΑ σὺ παρφάμενος, πείσεις σπεύδοντα παρορμέων,
Θεῖε Πλάτων· ἐπεί οἱ πάτριόν ἐστιν ἔθος
Εἰρήνην φιλέειν, ἑκὰς αἴσονος ὠθέμεν αἴης
Ῥίμφα ταλαύρινον βαρβαρόφωνον ἄρη
Ἡ δ' ἑλικωνιάδων[4]*) ἑλλήνιον ἄλσος ὀφέλλειν*
Ὀρπήκεσσι[5]*) φυτῶν ἄρτι κυϊσκομένων.*

---

1) Munckerus scripsit ἢ μὲν — ἢ δὲ.
2) Muncker oculi lapsu exhib : λόγον.
3) Alterum ι subscr. deest in Ald.
4) Ald. exh.: ἑλικ.
5) Munck.: ὀρπήκεσσι.

Te faciente animum vates, pia turba, resurgant,
Divitiis aucti muneribusque sacris.
Tum varios primae redimitos flore iuventae
Grais et natos patribus Ausoniis
Indolis egregiae iuvenes et sanguine claro
Acci et in urbanis moenibus esse iube.
Perfice et Ogygii doctos servare magistros
Eloquii, motis follibus, igniculos.
Apta illis sedes vario semota tumultu,
Et domus ad rivos consita Naiadum:
Illius exemplo referens Academia nomen,
Cuius ego assiduo tempore cultor eram:
Ingenuis dictans sapientia dogmata ephebis,
Quaeque prius norant integra restituens.
Illa quidem periit, sed te auspice si nova surgat,
Nimirum doctis excita de Laribus,
Scintilla e tenui multorum in pectora ephebum
Transmittet nitidum lucida flamma iubar.
Iamque erit in Latio redivivas cernere Athenas,
Tybricaque Ilyssi suggeret unda vices.
Haec ubi praestiteris, volucri tua gloria curru
Ad coelum et fines tendet Hyperboreos.
Nam lyra quae vatum, quae rhetoris ora diserti,
Non tua longinquos nomina per populos
Fundere gaudebunt: aut quo languescere facti
Gloria tam celebris tempore magna queat?
Hinc proavi genitorque tuus mansura per omnes
Terrarum tractus nomina clara ferunt.
At qui Pontifices te iam praetere, furentes
Marte fero, tetrum sanguine nomen habent.
Nam rogo, quis laudet, quos horrida caedis imago
Iuvit, et armata vertere tecta manu? —
Talia profatus currentis ad illa calcar
Addideris, patrium nam tenet ille decus:
Ut pacem colat et praeduri barbara Martis
Numina dispellat finibus Ausoniae;
Utque Heliconiasi Graiae pia tegmina silvae
Provehat, arboribus laetius aucta novis.

Ναὶ μὰν εὐμεγέθους σέο μορφῆς ἐκπρεπὲς εἶδος,
Καί τε θεοῖς ἰκέλην[1]) ἀθανάτοισι φυὴν,
Καὶ γεραροὺς ὤμους, βαθυχαιτήεντά τε κόσμον
Παλλεύκου κορυφῆς κεῖνος ἀγασσάμενος,
Αἰδεσθείς τε σέβας πολιῶν καὶ σεμνὰ γένεια,
Οὐ νηκουστήσει σῶν ὑποθημοσυνῶν,
Πειθοῖ θελξινόῳ κηλούμενος. ἈΛΛΆ ΤΟΙ ὥρα
Πτηνὸν ἐῶντι θεῶν ἅρμα καθιπτάμεναι. ΤΈΛΟΣ.

1) Sic et Ald. et Muncker.

Ergo tui vultus sacrum speculatus honorem,
Teque Deis magno corpore persimilem
Miratus, latosque humeros, capitisque verendi
Largius in cano crine comante decus,
Verticis et senium venerans, augustaque menta
Surdior ad voces non erit ille tuas,
Suadela mulcente animum. Sed commoda lapsu
Hora tuo est: agedum labere, linque polum.

Mel. Ioannis Latomi Bergami

carmen in M. Musurum.

(Cf. Iov. el. pag. 72, 73.)

Arma Pelasgiacas quaterent dum Turcica terras
    Inveherent culto barbariemque solo:
Quid facerent Musae? fugere Helicone relicto,
    Phocin et Ascraeum deseruere nemus,
Regna Latina petunt: et erat Musurus in illis:
    Hospitio utuntur hospitis ante sui.
Nunc etiam bustum grata pietate sepulti
    Officii quavis sedulitate colunt.
Thespiacas frondeis circum et Permessida laurum
    Et sacro spargunt ex Helicone thymum:
Castalias lymphas aliae: et „cape munera“ dicunt
    „Musure, Aonii factus Apollo chori“.

ADDENDA

ET

INDEX AUCTORUM.

AUCTARIUM EMENDATIONUM.

Vol. IV P. 2.

P. XXXV. Nihil omnino de Hesychio scriptum reliquit Apio quidam Gallus Petrus de Montmaur, quo de lepida exstat narratiuncula Vandosalvi in „omissis in notis“ ad Jo. Burck. Menckenii Charlataneriam eruditorum p. 250 sq. Amstelod. 1716. „On sait que les professeurs sont tenus de faire les leçons publiques. Montmour avait negligé pendant long-temps son devoir a cet egard, mais à la fin craignant qu'on lui ôtât sa chaire, il fit afficher qu'il expliqueroit publiquement Hesychius Grammairien Grec. Il promettait dans cette affiche des choses magnifiques en termes extrémement pompeux qu'on nommerait en latin sesquipedalia verba bullatae nugae. La voici tout entière: „Cum Deo Petrus de Montmaur Graecarum literarum Regius professor Hesychii recondita eruditione refertas glossas visendas fruendas proponet, lectissimis parenchiresibus earundem praestantiam patefaciet; Auctorem eximium non fuisse alienum a Christianis pietatis nostrae sacris praefationis epicheremate demonstrabit; arduis vocibus explorationem asseret, vetustis novitatem, novis auctoritatem, obsoletis nitorem, obscuris lucem, fastiditis gratiam, dubiis fidem in omnibus vero Deum quaeret et in deo omnia quo digna (ipso faciente) proferentur, ne quid piis cogitationibus his praesertim sacris statis ceremoniis et esuralibus feriis pereat. *Τὰ καλὰ ἔξω.* Die Martis hora 7 antemeridiana in auditorio Franciae novo.“ Remarquez qu'il destint pour ses leçons une heure ou presque tout le monde dort, savoir à sept heure du matin.

p. LXXXVIII. Post n. XXVIII cave intrudas *ΔΕΛΚΗΝ — οὕτω γὰρ αὐτὴν ὁ Διογενιανὸς κατονομάζει Δέλκην* ex Ord. patriarch. ap. Parthejum ad Hieroclis Synecdemum p. 59. Hic enim locus ex Diogeniani libro *περὶ λιμνῶν* petitus est.

p. LXXXIX. Post n. XXXVII insere haec: „*ΚΗΤΟΣ* in schol. cod. Urbinat. 124 ad Dion. Chrys. or. VII § 52 ex eodem Diogeniano sunt repetita.“

p. XC. S. v. *μαγνῆτιν* adde: „Eadem schol. Ptolem. Geograph. VII 2 transscripsit.“

p. XCVIII. Schol. ad Oribas. p. 157 Cocch. transscripsit ad verbum *καιρώματα* vol. II 391, 69. Usus Diogeniano est etiam Basilius Patricius ap. Fabric. B. Gr. VIII p. 140 s. vv. *ἱστοπέδη. σπεῖρα. τροπωτήρ. δρύοχοι.*

p. CX. Semel etiam Hesychius cum paraphrasin compilaret aberravit e priore in posteriorem versum, unde factum est ut falsam interpretationem adlineret, v. *κτάσθαι*, quod reddit *κτανθῆναι* (O 558). Debebat *ἀποκτεῖναι*. Sed in paraphr. praecedit *ἀποκτανθῆναι* ad O 557 pertinens.

p. CXII *). Adde alia exempla haec: *πόρεν οἱ ἐπιεικὲς· παρέσχεν αὐτῷ τὸ πρέπον* inepte, ut dudum vidit Pearso (ad *T* 21). — *Λοβοῖσι· τὰ αὐτά;* imo *ἐνωτίοις.* — cf. *τύνη.* — *ἥσατο· ἐτεχνάσατο* quod natum ex *κατὰ μῆσατο.* — *Ψ* 327 *ξύλον αὖον ὅσ...* quod abiit in *αὔονος ξύλον· ξηρόν.*

p. CXVI. *κλεύθωμαι* (*Ψ* 244) vol. II p. 491, 36 iterum redit ad Aristonicum.

p. CXVII 23. Conf. formula haec: Vol. II p. 210, 72 *ἔσχατος Μυσῶν· παροιμία, ἣν ἐξηγοῦνται οὕτως,* et proverbio *Θύραζε Κᾶρες· παροιμία* ab alia manu assuta haec: *οὐκέτ' ἀνθεστήρια.* Idem Hesychius e Zenob. IV 53 p. 100 *Κιλίκιος ὄλεθρος* effecit duo, hoc ipsum et *Κιλικίους τιμωρίας. Κιλλικύριοι* scripsit pro *Κιλλικυρίων πλείους.* Deinde vol. II p. 500, 89 e codicis vitiis dubium esse nequit, quin Diogenianus non nisi lemma posuerit *κόγχης ἄξιον*, ab Hesychio vero illata sit hypothesis, male inculcata. Similiter statuo de gl. *Κέσκος.* vol. II 470, 79, qua de cf. edit. min. p. 863 a 13.

p. CXXV 19. Eadem ratio obtinet s. v. *κωχεύουσι: πιστοί με [Σοφοκλῆς καμίκην] κωχεύουσι* (l. *μ' ὀκωχεύουσι*), unde patet testimonium margini adscriptum fuisse.

p. CXXVII. Ex Hesych. III p. 60, 41 dilucide apparet auctorem tali onomastico usum esse, et satis quidem neglegenter. Nam in capite posuit *λωφῆσαι* et iterum suo loco, ubi in ipso onomastico invenerat sub finem post *ἡσυχάσαι* addita formula *καὶ τὰ ὅμοια.* — Alia si vis exempla rem certam comprobantia cf. glossematica cumulata: *ξυνάωρ· εὐναία δάμαρ ἄλοχος* et cf. *ἐπίτροχον* et *καπυρὸν* s. v. *κινυρόν.* Perquam memorabilis est etiam glossa II 351, 18 *ἰθύς· εἴθε μακάρι αἴθε* propter Doricum *αἴθε* in expositione.

p. CXXX. Audias velim Th. Bergk Philol. XVI p. 588.

p. CXXXI **). *Φρυγῶν ὁρίσματα* quae sunt e Gregor. Naz. ed. Jac. Toll. petita.

p. CXXXIII 7. e. c. *κνῆν* post *κνηστήρ.*

p. CXXXV. *Ἶρος ἀλητοβόρος*] Hesych. s. v.

διαζῶντι] adde: „sed Cosmas Angeli Mai et Hesychius." De Gregorii Nazianzeni glossis in Hesychium illatis uberius disputavi in Mus. Rhen. vol. XXI p. 489—497. Indicem earundem locupletissimum infra subiecimus.

p. CXXXVII. Ex Agathia AP. X 66, 1 aut Greg. Naz. C. XLVII 89 p. 107 B. fluxit fortasse gl. *εὖτέ τις;* ex Joseph. Macc. 14, 14 p. 515 C. ex em. Haverkamp. *ὀροφοιτῶντα* ac satis certum est glossam a Jac. Bernays in Mus. Rhen. 1864 p. 471 emendatam *ἀσαρθά· πεντηκοστὴ παρὰ Ἰουδαίοις* ad Joseph. Antiq. L. III 10, 6 p. 179 (Vol. I p. 160. 161 ed. Richter.) esse referendam. Praeterea quaerendum est, sintne etiam Pseudothespidea, quorum *κνάξ* certe loco non suo legitur, ex Clemente Alexandrino repetita. Denique verbo moneam v. *πανημαδόν* usum esse Eusebium in P. E. et v. *πανόσπρια* Isidor. Pelusiotam epist. p. 559.

p. CXL s. f. Cf. vol. II p. 265 not. ad 108.

p. CXLI *). Adde *ἥμονες Θειλόπεδα* et post Alexio: „Herodianus *ἐν τῇ καθόλου.*"

p. CXLIII. Post Eusebium adde: „Onomasticon urbium et locorum ed. Larsow et Partheyus Berol. 1862."

p. CXLIX. Neque haec a Didymo scribi poterant: *οὐλόμεναι· ὀλέθριαι πληγαί* quae sunt Euripidis in Phoen. 1529: *οὐλόμεν' αἰ[κίσματα]* ubi schol. *αἰκίσματα· ὀλέθριαι πληγαί.* Neque *ῥεδείη· τράχηλος ἢ ῥεδέρη* amplius in Diogeniano ferenda

sunt, quippe nata ex Eur. Tro. 99 ἐπάειρε δέρην et sic scribenda [—ρε] δέρην· τράχηλον· „(ἐπά)ειρε δέρην" (Εὐριπίδης Τρῳάσιν); neque gl. τοινισταφράσαι· ἀγγεῖλαι, εἰπεῖν detorta ex verbis Euripidis in Rhes. 602: [ποῦ κα]τεύνασται φράσον. Vetus contra error videtur ἠπανία pro ἡ σπανία (τῶν ἀγαθῶν) in Eur. Rhes. 245 propagatus ab Hesychio II p. 284, 59. Cf. etiam quae in Philol. XX 2 p. 353 dixi, et glossas κυβιστήρ. λίσσομαι. μέθες μ'. ἀνεῖρφ' ύ... μάραγνά γ' ή. γ' ἄμμορος, γέγωνε εἰς.

p. CL 4. E Rheso (33) illata gl. κεροδέκα τόξα (sic). Nam vv. ἐπεὶ τὰ κατὰ τράγου εἶχεν a sua glossa divelluntur glossis 52. 53 (Euripid. et Prov. Salom. XXVI 22).

p. CLI 10. Aesch. Pers. 309 πελειοθρέμμονα, quod sine interpretatione intrusum est glossae πέλειαι.

p. CLV 25. Adde λωβήεντα et μνώεο.

p. CLVI *). Ἰχναίη Θέμις h. Ap. 94 ἴχματα ibid. et κάγκαν' h. Merc. 136 pro κάγῃ, κᾶν cod.

p. CLVIII. Θεόφρονος Thebaid. cycl. fr.

p. CLXI *). Callimachus hausit ex Hom. Il. O 95. Cf. Mus. Rhen. XX 3 p. 471.

p. CLXII. κνώσσοντι non Pind. Ol. XIII 100 spectat sed Greg. Naz. IV 229 p. 216 Dronk.

p. CLXXI. L. in *) „omissa sunt quartum quintum et sextum ἰνουλεοῦς ἠῶα et ἶπτα (h. c. ἶττα)."

p. CLXXIV 6 (n. i.). iterum solveret] Patet e gl. ἠμιφημί inter ἠμίφατον et ἠμίφθη posita pro ἡμί· φημί, quod ordo repudiat.

p. CLXXXII. Σαμιακὴ θυσία sub voce κρησίπαιδα.

p. CLXXXIII *). Neque θῶμιγξ καταφυλαδόν κερκοῦρος (Halieut. I 141) huc retulerim.

p. CLXXXIV 9, identidem] tacito nomine s. v. κόπτη (leg. κοπτή). cf. Ath. XIV 648 E.

p. CLXXXIX, 15. adde σαγγάριος s. v. σκυτεύς, τήλη pro τῆλις s. vv. βουκέρας et σμηκτικόν. — Accusativus Ἑρμῆ etiam vol. II p. 545, 57 legitur. — Verborum formis Alexandrinis adde etiam has ab amico docto collectas: ἀπεθάναμεν s. v. ὀλώλαμεν, γενάμενος s. v. πεπεμμένην (hanc praebet etiam titulus ineditus a J. de Hahn propediem edendus γενάμενος ἀνὴρ θεοσεβής) ἔπια s. v. πέπωκα βάλαι s. v. σχάσαι, ἐνέπεσα s. v. ἐνδούπησα, κατέβαλας s. vv. καθεῖλας et κατέλεξας, κατέπεσαν sim. s. vv. κατεπόθησαν κατήριπες et παραὶ ποσὶ (Bachm. Lycoph. p. 32) δίδει s. v. ἰάλλει, συνέλθατε s. v. σύνιτε, συνθήσας s. v. συναρμόσας, συνθήσῃ· συντάξῃ, συμβαλεῖ (futur.) σ 2345 συνειεῖ. συνιῶν. Alia ap. Nauck. Eurip. Stud. II p. 2, n. De χρῆσθαι c. acc. cf. κ 2290 κέρατος φυτὸν et vocc. παιδισκάριον τάρανδος; cf. Elmsl. ad schol. Soph. O. R. 1. — Denique observandum Hesychium saepius ὅτε ponere sequente coniunctivo, eque contrario ὅταν — ἐστὶν ausum esse 3 p. 6, 133 ubi ἤ Musurus. Formula παρ' ἐνίων II 519, 80.

CORRIGENDA.

XLVII 6. lectu 27. viginti
LII 19. glossarum
LX 9 (a. i.). quaestio
LXVI. Θεόκριτος. ἀώτῳ. Θεοδωρίδα. ἀγείροντες.
LXVIII. φησί
LXXXVI 7. veterum
LXXXVII. scripturus fuisset
XCII 8 (a. i.). videlicet
XCIII 10. minus
XCIV 5. ἢ Xenoph.
XCVI 10. brevissimum 11. conscribillavit 15. ignoraret
XCVII 12. πανομφαῖος
XCIX 19. Hesychii
CII 2 (a. i.). depromam
CIII *). ὕσπληξ
CIII ***). nunc
CVII 2. significationum
CXIV **). plerasque
CXXIII 1 (a. i.). certi
CXXIII 14. videmur
CXXV 29. unde
CXXV 32. potest
CXXVII 8. non
CXXXI 17. Hesychii
CLXXIX. topographiam
Indic. p. 66. ἁλιευτικά
— p. 5, 19. ante Moschus excidit Eucrates. Cf. etiam Phot. 464, 12 προτήνιον: ἐν Καμειρέων ἱεροποιΐᾳ.
— p. 12. insere suo loco Κεφαλή.
— p. 21. s. v. κάμαροι adde: cf. schol. Ar. Avv. 990.
— p. 23. s. v. Ἔφεσος: Ταῦροι
— p. 29. περὶ γῆς: μῶυς.
— p. 55. ὑπηρέται: ἐπερρώπτης
— p. 89, 10. σαννιόπληκτος
— p. 93, 2. Vide nunc Jo. Graseri de veterum triremium fabrica Hal. 1864. 4 et Philol. Cypriorum glossis adde ζόες.

Epistola ad Eulogium.

H. Weber de Hesychii ad Eulogium epistola Weimar 1865. 4. Rec. Herm. Sauppe in Nuncc. erud. Gotting. 1865. fasc. 35 p. 1399. 1400. — Rem denuo tractavi in Jahnii annal. 1865. fasc. XI p. 749 sqq.

Lin. 10. *λέξιν ἑκών γε παρέλιπε* H. Sauppius.

— 15. *παραλιπὼν ἐπέγραψε* malim.

— ibid. *καὶ* proscripsi in ed. min. quod fugit Weberum et Sauppium.

— 19. *ἄνδρα τῆς* Sauppius.

— 25. *δέον καὶ* ed. min. et Sauppius.

— 28. *ἐνδοτέρω* L. Dindorf. Thes. II p. 1024 C.

— 31. *ὑπάρχει. πλεονέκτημα δ' αὐτός* Welcker Kl. Schr. II p. 546.

— 34. *γράφειν ἀξιώσας — παρέχουσαν — σαφῆ ταῖς?*

— 36. *πλειονοσήμων* Welcker. Kl. Schr. II p. 545.

— 40. *ἐμπεπτωκώς* Weber Sauppius, *πεπταικώς?*

— 41. *ἐντελῆ* Weber.

— 43. *πεπεισμένος μὲν εἶναι τὸ κτῆμα μετὰ τὴν σὴν καὶ μειζόνων ἄξιον (φιλίας) ὑπάρχουσαν* Welcker l. c. p. 548 „hoffend, dass das Werk nach dem Vorgange von deiner Freundschaft auch der Freundschaft grösserer Personen gewürdigt werden werde" oder auch „grösseren Werth haben werde." — *πεπεισμένος μὲν εἶναι τὸ πλεονέκτημα μέγα, πολὺ δὲ τὴν σὴν φιλίαν καὶ μειζόνων ἀξίαν ὑπάρχουσαν* probabiliter Sauppius.

De specimine anno MDCCCLVI edito iudicium fecerunt Julius Caesar in annal. Marburg. 1856 XIV 39 p. 312 Gustavus Linker in ZföG. p. 841—844 Augustus Nauckius in ZfGW. X 12 p. 921—927; de editione ipsa anonymus in Zarnkii Liter. Centr. 1857 n. 34 p. 539, Carolus Daremberg in Revue de l'institution publique 1858 (29 Avril) p. 67 et in bulletin international 1858 n. 26 p. 130 sq. Anglus nescio quis in the home and foreign review n. 4, 17 April 1863. H. M. in the Reader 5 March 1864 p. 294 sq. CO. in ZföG. 1865 fasc. II. III p. 202—5. GWolff in ZfGW. 1865 XIX 6 p. 464—466. S. A. Naber in prolegg. ad novissimam Photii editionem Lgd. Bat. 1864. A. Nauck Mélanges Gréco-Rom. II p. 639—746 (Kritische Bemerkungen IV). Hugo Weber in nuncc. erud. Gotting. 1867. p. 401—446. Philol. Suppl. vol. III 5 p. 451 sq.

P. 3, 1[d]. *ἀά· σύστημα ὑδάτων* Cram. AP. IV 178.

4, 17. *ἀάνης* Cram. IV 177, 3 *ἀαμής* cod. Lege cum ed. min. *ἀανὴς χρησμός·* .....

— 18. *ἀάνδιχα (L. διάνδιχα)· χωρίς* Cyr. Dr. De *ἀλλαχοῦ* exterminando cf. *ἀρήϊος*.

— 21. *ἀάς* accinit Ahrens ap Kuhn. III p. 163.

5, 43. Sic etiam Cyrill. ap. Cram. AP. IV 178, 21, sed cod. Paris. 2669 *ἄβανα*. Mox *ἄβακρον· λεπτὸν* id.

— 45. *ἀβάθων* Cyr. Cr. AP. IV 178, 23 *ἀβά· ὁ δ.* Gesenius Monum. Phoen. p. 384.

5, 60. Idem porrigit cod. Par. 2669 AP. IV p. 84, 35.

6, 74. *ἀβαρκνῶ· κωμῶ* Cyr. Dresd. Illustrat P. de Lagarde opusc. p. 275, admissa Pearsonis coniectura.

— 79. Recte habet; אָבַר est volare.

— 80. *ἁ μαργός?* cf. *μέργιζε μοργίας μόριος.*

— 83. *ἰδία νόσος* Cram. AP. IV 84, 31 Philol. IV 274.

— 89. *ἄβλαστυν* Athanasius, *ἀβάστιμον* (h. e. *ἄστιβον* suprascripto *ἄβατον*) lexic. anon. Pearsonis.

— 93. *ἄβδελλον* Athanas. (אל et עבר) Philol. XIII p. 218.

— 100. Pro *ὄφεις* Macedonice? Philol. l. c.

— 102. Recte cod. *ἡλιακόν* sc. *ἄνεμον* subsolanum ventum. Philol. l. c. Lassen in Ztsch. d. deutsch. morgenl. Gesellsch. Lps. 1856 X 3 p. 385. *ἄβελος· ἥλιος ἀβέλιος· ἡλιακός* Cyr. Mosq.

7, 9. *ἀβέσσει· πεθυμᾶ ἀνακατώννει ἐπιθυμεῖ* Gl. barb. Gr. ap. Ducang. col. 68.

— 27. *ἀβίυκτον* Is. Voss. probante Meinekio.

— 29. *ἀβίβλαβον* Dioscorid. (לבן . אֵבֶה).

8, 52. L. *ἀμογητί.*

— 63. L. *ἀβόος· ἐξ ἔω (παρὰ) Ταραντίνοις.*

9, 64. *ἀμετάβολον* Meineke. An *ἄβολον· ὄνομα τοῦ Χίου?* Philol. XIII p. 220.

— 65. *ἄβοσκοι· οἱ σίτησιν (οὐκ ἔχοντες)* Meinek.

— 83. Forte *Ἀβρωνίδας*, cf. *Τρουφωνίδες.*

10, 12. *ἀβροῦτες] ὀφρύγων* in Aeolici poetae carmine a Theod. Bergk. edito in ind. Hal. $18^{65}/_{66}$ p. VIII, 7.

— 96. *ἀβραμία· γιτία* Cyr. Dr.

11, 27. *ἄβυθον* Nauckius.

— 32. *ἀβῶ* accinit Ahrens ap. Kuhn. III p. 163.

11, 36. *ἄβρωτον* Athanas. Cram. AP. IV 202, 2.

— 41. 44. H. e. *ἀϜατᾶσθαι ἀϜατώμενοι.*

12, 55. Recte Nauckius *Ἀγαθώνειον.*

— 59. Hermann Opusc. VII 375.

— 64. 81. 83. *ἀγαλάκτην· ὀνόματος εὐγενοῦς* h. e. *τοῦ συγγενοῦς. ἀγαλμαῖος· αἱματίτης λίθος* Cyr. Dr.

13, 84. *ἄγαλος* Cyr. Dresd.

— 308. *ἀπάννα* (Aeolice) Meinek. vel *ἀγάννα.*

14, 85. EM. 183, 24.

15, 59. 60. Nihil mutandum. Recte cum *ἀϜάτα* comparat Ahrens II 55.

16, 74. *ἄγγαθος* Ducang. Add. col. 5.

— 97. *ἄγγοραν· ῥογὴν σταφυλῆς* Athanasius IV 203, 20. angor etiam hodierni Lusitaniae incolae vinum appellant. Sed magis etiam huc pertinet, quod apud Persas angûr est uva, apud Illyrios *ἀγουρί* i. q. *ὄμφαξ*. Cf. Blau Schriften d. deutsch. Morgenl. Gesellsch. 1863 XVII 3. 4 p. 653.

17, 98. Cf. *ὄρπη.*

— 403. De Aggdisti cf. Max. Dunker. I p. 245. 247—49.

18, 31. *ἀγελαστούς* Schoemann l. c.

